ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν ἀνέσχιζον
τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδιτῶν, ὅπως ἐμπλατύνωσιν τὰ
ὅρια αὐτῶν· [14]καὶ ἀνάψω πῦρ ἐπὶ τὰ τείχη Ραββα, καὶ καταφά- 14
γεται θεμέλια αὐτῆς μετὰ κραυγῆς ἐν ἡμέρᾳ πολέμου, καὶ σεισθή-
σεται ἐν ἡμέρᾳ συντελείας αὐτῆς· [15]καὶ πορεύσονται οἱ βασιλεῖς 15
αὐτῆς ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ
τὸ αὐτό, λέγει κύριος.
[1]Τάδε λέγει κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωαβ καὶ ἐπὶ ταῖς 2
τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν κατέκαυσαν τὰ
ὀστᾶ βασιλέως τῆς Ιδουμαίας εἰς κονίαν· [2]καὶ ἐξαποστελῶ πῦρ 2
ἐπὶ Μωαβ, καὶ καταφάγεται θεμέλια τῶν πόλεων αὐτῆς, καὶ ἀπο-
θανεῖται ἐν ἀδυναμίᾳ Μωαβ μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγ-
γος· [3]καὶ ἐξολεθρεύσω κριτὴν ἐξ αὐτῆς, καὶ πάντας τοὺς ἄρχοντας 3
αὐτῆς ἀποκτενῶ μετ' αὐτοῦ, λέγει κύριος.
[4]Τάδε λέγει κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ιουδα καὶ 4
ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἕνεκα τοῦ ἀπώσα-
σθαι αὐτοὺς τὸν νόμον κυρίου καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυ-
λάξαντο καὶ ἐπλάνησεν αὐτοὺς τὰ μάταια αὐτῶν, ἃ ἐποίησαν, οἷς
ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν· [5]καὶ ἐξαποστελῶ 5
πῦρ ἐπὶ Ιουδαν, καὶ καταφάγεται θεμέλια Ιερουσαλημ.
[6]Τάδε λέγει κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ισραηλ καὶ ἐπὶ 6
ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν ἀπέδοντο
ἀργυρίου δίκαιον καὶ πένητα ἕνεκεν ὑποδημάτων, [7]τὰ πατοῦντα ἐπὶ 7
τὸν χοῦν τῆς γῆς καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν καὶ ὁδὸν
ταπεινῶν ἐξέκλιναν, καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο πρὸς
τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλώσωσιν τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν,
[8]καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις παραπετάσματα ἐποίουν 8
ἐχόμενα τοῦ θυσιαστηρίου καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ
οἴκῳ τοῦ θεοῦ αὐτῶν. [9]ἐγὼ δὲ ἐξῆρα τὸν Αμορραῖον ἐκ προσώπου 9
αὐτῶν, οὗ ἦν καθὼς ὕψος κέδρου τὸ ὕψος αὐτοῦ καὶ ἰσχυρὸς ἦν
ὡς δρῦς, καὶ ἐξῆρα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν καὶ τὰς ῥίζας
αὐτοῦ ὑποκάτωθεν· [10]καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου καὶ 10
περιήγαγον ὑμᾶς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη τοῦ κατακληρονο-
μῆσαι τὴν γῆν τῶν Αμορραίων· [11]καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν 11
εἰς προφήτας καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν· μὴ οὐκ
ἔστιν ταῦτα, υἱοὶ Ισραηλ; λέγει κύριος. [12]καὶ ἐποτίζετε τοὺς ἡγια- 12

13 αυτον (cf. 3 2 1. 6)] αυτους A*L*: cf. 6. 11 et 2 4 | fin. εαυτων B || 14 ημερα ult.] -ραις BQ || 15 πορ. οι βασ. αυτης] πορευσεται μελχομ *L*†: ex α' σ'
2 2 θεμελια] pr. τα B: cf. 1 10 | αυτης B*C*] -των A^r^Q, -του *L*† || 3 τους αρχοντας > B† || 4 αυτον B*C*] -τους AQ*L*: cf. 1 13 | κυριου] pr. του BQ | ματαια] αιματα A*† || 7 τα πατουντα] των πατουντων *LC*(†) | βεβηλωσωσιν] -λωσιν BV† || 9 εξηρα 1⁰] εξηγειρα A† | εξηρα 2⁰ *L*] εξηρανα BAQW*C* | απανωθεν A†